ὑμῖν, ἀλλ' οὐκ ἐν Λακεδαιμονίοις, δι' ἡμᾶς. πρεσβευτὰς οὖν πάντας ὑμᾶς ἡμεῖς οἱ πρέσβεις ποιοῦμεν· ὁ γὰρ τὴν χεῖρα μέλλων ὑμῶν αἴρειν, οὗτος ὁ πρεσβεύων ἐστίν, ὁπότερ' ἂν αὐτῷ δοκῇ, καὶ τὴν εἰρήνην καὶ τὸν πόλεμον ποιεῖν. μέμνησθε μὲν οὖν ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι τοὺς ἡμετέρους λόγους, ψηφίσασθε δὲ τοιαῦτα, ἐξ ὧν ὑμῖν μηδέποτε μεταμε-
29 λήσει. |

## 4.

# [ΑΝΔΟΚΙΔΟΥ] ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ

### ΥΠΟΘΕΣΙΣ

*Ἀνδοκίδης Ἀλκιβιάδου κατηγορεῖ τοῦ Κλεινίου ὡς καὶ τὰ τῆς πόλεως καὶ τὰ τῶν συμμάχων διαφθείραντος καὶ κατὰ τὸν ἴδιον βίον πλεῖστα ἡμαρτηκότος· τοῦ δὲ δήμου βουλευομένου καὶ αὐτὸν ἐξοστρακίσαι τὸν Ἀνδοκίδην πρῶτον παραγράφεται, λέγων ἤδη ἀπολελογῆσθαι καὶ ἀνεύθυνος εἶναι. εἰρήκαμεν γὰρ πολλάκις, ὅτι δεῖ τὸν τοῖς αὐτοῖς ἐγκλήμασι δοκοῦντα ἐνέχεσθαι πρῶτον ἑαυτὸν ἐλευθεροῦν, εἶτα διαβάλλειν. τὴν δὲ στάσιν οἱ μέν φασιν ὁρικὴν εἶναι, οἱ δὲ πραγματικήν. ἠκριβωμένη δὲ ἡ στάσις κατὰ μὲν τὴν ἀρχὴν μετάληψίς ἐστι (παραγράφεται γάρ), ἐν δὲ τοῖς ὑστέροις πραγματική· δίκαιον γάρ φησι καὶ συμφέρον ἐξοστρακισθῆναι Ἀλκιβιάδην.*

Οὐκ ἐν τῷ παρόντι μόνον γιγνώσκω τῶν πολιτικῶν πραγμάτων ὡς σφαλερόν ἐστιν ἅπτεσθαι, ἀλλὰ

δι' ἡμᾶς Q (R.): δι' ὑμᾶς A. — πρεσβεύοντας Nb. — ἡμᾶς οἱμεῖς Q. — ἡμῶν Q. — οὕτως Q. — ὁ πρεσβ. ἔσται Dobr. — δοκεῖ A. — ἡμῖν Q.

Or. IV. [*ΑΝΔΟΚΙΔΟΥ*] Turr.: *ΑΝΔΟΚΙΔΟΥ*. Tit. post argum. habet A, om. Q. — ὑπόθεσις τοῦ ἑξῆς A, om. Q. — Ὑπόθ.] ἀλκιβιάδην Q. — βουλομένου Q. — εἰρήκαμεν cum R. Bk.: εἴρηκε μὲν. — ἀνέχεσθαι Q. — ἠκριβωμένως Q Bl.